UiO : **Institutt for filosofi, idé- og kunsthistorie og klassiske språk**
Det humanistiske fakultet

# EKSAMEN I GRE1403 Homer HØST 2017

Oppgaven består av 2 sider.

Onsdag 13. desember (4 timer) **Ingen hjelpemidler**

## Alle spørsmål skal besvares

**Oppgave 1**

Oversett tekstutdraget under fra gammelgresk til norsk:

ὣς ἔφαθ’, αἱ δ’ ἀπάνευθεν ἴσαν, εἶπον δ’ ἄρα κούρῃ.
αὐτὰρ ὁ ἐκ ποταμοῦ χρόα νίζετο δῖος Ὀδυσσεὺς
ἅλμην, ἥ οἱ νῶτα καὶ εὐρέας ἄμπεχεν ὤμους·
ἐκ κεφαλῆς δ’ ἔσμηχεν ἁλὸς χνόον ἀτρυγέτοιο.
αὐτὰρ ἐπεὶ δὴ πάντα λοέσσατο καὶ λίπ’ ἄλειψεν,
ἀμφὶ δὲ εἵματα ἕσσαθ’ ἅ οἱ πόρε παρθένος ἀδμής,
τὸν μὲν Ἀθηναίη θῆκεν, Διὸς ἐκγεγαυῖα,
μείζονά τ’ εἰσιδέειν καὶ πάσσονα, κὰδ δὲ κάρητος
οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.
ὡς δ’ ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει,
ὣς ἄρα τῷ κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.
ἕζετ’ ἔπειτ’ ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης,
κάλλεϊ καὶ χάρισι στίλβων· θηεῖτο δὲ κούρη.
δή ῥα τότ’ ἀμφιπόλοισιν ἐϋπλοκάμοισι μετηύδα·
“κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω.
οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Φαιήκεσσ’ ὅδ’ ἀνὴρ ἐπιμείξεται ἀντιθέοισι·
πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ’ εἶναι,
νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν.
ἀλλὰ δότ’, ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε.”
ὣς ἔφαθ’, αἱ δ’ ἄρα τῆς μάλα μὲν κλύον ἠδ’ ἐπίθοντο,
πὰρ δ’ ἄρ’ Ὀδυσσῆϊ ἔθεσαν βρῶσίν τε πόσιν τε.
ἦ τοι ὁ πῖνε καὶ ἦσθε πολύτλας δῖος Ὀδυσσεὺς
ἁρπαλέως· δηρὸν γὰρ ἐδητύος ἧεν ἄπαστος.

**KANDIDATEN BES SKRIVE TYDELIG MED PENN**

**Oppgave 2**
Skander de 10 første linjene i tekstutdraget. Marker cesur for hvert vers.

**Oppgave 3**
Bestem formen til de ordene som er understreket i tekstutdraget. Oppgi den tilsvarende formen i attisk gresk hvis du kan. Kommenterer forholdet mellom formene ὤμοις, ἀμφιπόλοισιν og ἐϋπλοκάμοισι. Hva sier det om det homeriske språket?

**Oppgave 4**
Beskriv kort (10-15 setninger) hvor tekstutdraget hører til i sjette bok av Odysséen. Beskriv mer utførlig (1/2-1 side) hvilken del av fortellingen om Odysseus sjette bok tar for seg og hvordan Odysséen som helhet er bygd opp.